αὐτὰς τὴν φύσιν εἰσὶ σωτήριοι καὶ θεοφιλεῖς, διὰ τῶν αὐ-
τῶν καὶ ὁ νόμος ὅλος καὶ οἱ προφῆται τῶν αὐτῶν εἰσὶν
ἐπάξιοι γερῶν. Συνήρτηνται γὰρ ἀλλήλοις ταῦτα, καὶ συνέ-
χεται, καὶ τῆς αὐτῆς νομοθεσίας ἐξῆπται· καὶ αὐτὸς
ὁμότιμός ἐστιν ὁ τούτων ἁπάντων καὶ νομοθέτης καὶ εἰσηγ-
ητής. Ἀμέλει καὶ τὸν Δαβὶδ πάλιν εἰσάγει μάρτυρα
κύριον αὐτὸν καὶ νικητὴν προανακηρύττουσα, καὶ οὐχ
ἁπλῶς, ἀλλ' ἐν πνεύματι ἁγίῳ· καὶ παρὰ κυρίῳ τὴν
ἐκ δεξιῶν καθέδραν κύριον καὶ αὐτὸν ὄντα λαμβάνον-
τα, καὶ τοὺς ἐχθροὺς ὑποπόδιον τῶν ποδῶν αὐτοῦ τιθε-
μένους καὶ καταπίπτοντας. Καὶ ποῦ ταῦτα προαγορεύειν
ἐκεῖνον καὶ θεολογεῖν παρῆν, εἰ τῆς ἐναντίας εἶλκε με-
ρίδος τὴν ἐπίπνοιαν; Μάλιστά γε θεολογεῖν οὕτω σαφῶς
καὶ ἀπερικαλύπτως τὸν Ἰησοῦν, κύριόν τε ἴδιον αὐτὸν
ἀνομολογεῖν, καὶ τὸ πατρικὸν ἀξίωμα διὰ τῆς κυριό-
τητος ἐπιμαρτυρεῖν, καὶ ὡς λαμπρῶς καὶ ἀναφαίρετον
τὸ κράτος ἀναδήσεται τὸ κατὰ τῶν ἐχθρῶν; εἰ τίνος
ἦν ἄλλου καὶ προθεσπίζειν, καὶ εἰς πέρας ἄγειν, εἰ μὴ τῆς
ἀγαθωτάτης τιδος θεοῦ σοφίας· δι' ἧς τότε σύμπαν ὑπέστη,
καὶ τὰ τῆς σωτηρίας ἡμῶν ἀπὸ καταβολῆς προωρίσθη
κόσμου, καὶ πέρας ἔλαβε, τοῦ προορίσαντος οὐκ ἀνάξιον;
Σκοπῶμεν δὲ κἀντεῦθεν. Εἰ μὴ Μωσῆς καὶ Ἠλίας νόμῳ βε-
βιωκότες θεράποντες ἦσαν, καὶ πρὸς ἀρέσκειαν πράττον-
τες τοῦ ἀγαθοῦ καὶ ἀληθινοῦ θεοῦ, πῶς ἐν τῷ ὄρει, ἐν ᾧ
μετεμορφώθη ὁ σωτὴρ, καὶ τὴν δόξαν αὐτοῦ τῆς θεότητος
παρεγύμνωσε, καὶ ἐνήστραψε τοῖς προκρίτοις τῶν μαθητῶν,
συμπαρῆσαν οὕτοι καὶ συναπήλαυον τῆς θείας ἀστραπῆς,

# ῥύτλοντα

||| . ἀγαθωτάτυς τῆς

μή